κατάρξας οὖν ὁ βέβηλος ἐπὶ τρισὶ τοῖς χρόνοις
πάσαις μαγείαις ἔχαιρε καὶ λεκανομαντείαις·
ὃς ὑδρομάντει προσελθὼν ἠρώτα· τίς τὸ κράτος
αὐτοῦ δ' ἀρχὴν ἁρπάσειε καὶ τί τὸ τέλος τούτου;
ὁ δέ γε μάντις κατιδὼν ἡμίσφαιρον σελήνης,
ἰῶτα ταύτης ὄπισθεν ἔνδον ἐν τῇ λεκάνῃ,
ἔφησεν· „Ἰσάακιος φαίνεται πρὸς λεκάνην."
ἦν δέ τις Ἰσάακιος ἄρχων τῆς Κύπρου τότε,
τὸ γένος ἐκ τοῦ Μανουὴλ τοῦ Κομνηνοῦ κατάγων,
ὃν τύραννος Ἀνδρόνικος μεγάλως ἐδεδοίκει,
μὴ τυραννίδα τὴν αὐτοῦ καὶ κράτος καταλύσῃ·
ὅθεν ἰδὼν ἐν ὕδατι τὴν κλῆσιν Ἰσακίου
Ἰσάκιον ὑπώπτευε τὸν πρὸς τὴν Κύπρον ὄντα·
ὑπῆρχε μὴν Σεπτέβριος φέρων δεκάτην τότε,
ἡνίκα τὸ παράνομον ἔβλεπεν ἐν λεκάνῃ.
καὶ πάλιν ἐπηρώτησε τὸν μάντιν· „πότε ταῦτα
γενήσονται; κατάμαθε καλῶς πρὸς τῆς λεκάνης."
ἡ δὲ μαντεία „ναί, φησι'' „τεσσαρεσκαιδεκάτην
φέροντος τούτου τοῦ μηνὸς γενήσεται τὸ μέλλον."
ἐγέλασεν Ἀνδρόνικος εἰπὼν Χριστοφορίτῃ·
„πῶς οὗτος Ἰσαάκιος ἐν τέσσαρσιν ἡμέραις
ἀπὸ τῆς Κύπρου πρὸς ἡμᾶς δυνήσεται περᾶσαι;
ψευδὴς ὑπάρχει τοιγαροῦν ἡ λεκανομαντεία."
„ἀλλ' ἔστιν" οὗτος ἔφησεν „ἄλλος ἐκ τῶν Ἀγγέλων
Ἰσάκιος καλούμενος, καὶ μὴ πρὸς τοῦτον μᾶλλον
ἡ τῆς μαντείας πρόῤῥησις τὰ μέλλοντα προλέγει;"
βαβαί. λοιπὸν Ἰσάκιος ἐτάχθη φονευθῆναι·
ἀπῆλθεν οὖν ὁ τύραννος πέραθεν Χαλκηδόνος
καταλιπὼν τὸν ἕτερον τύραννον ἐν τῇ πόλει,
ὃς εἰς τὸν οἶκον εἰσελθὼν ταχίστως Ἰσακίου
πλησίον ὄντα τὸν αὐτὸν μονῇ τῆς Περιβλέπτου [1])
ἐκάλει τὸν Ἰσάκιον ἔξω παραγενέσθαι.

Ὁ μάντις τὸν Ἰσαάκιον ἔδειξεν Ἀνδρονίκῳ.

Οὐκ ἔστι πρόῤῥησις ψευδής, ἀλλ' ἀληθὴς ὑπάρχει.

[1]) Μονὴ τῆς Περιβλέπτου, monasterium, Deiparae sacrum, aedificavit Romanus Argyrus et sub praetextu illius structurae thesauros publicos exhausit, subditos vexavit, ab iis pecunias et operas ad convehendas materias extorsit. Virorum fuit monasterium, haud procul a muris maritimis. s. Du-Cange Cps. chr. lib. IV. p. 94 sq.